CAMBRIDGE

Cambridge University Press
978-1-107-67466-0 - The Text of Acts in Codex 614 (Tisch. 137) and its Allies
Edited A. V. Valentine-Richards
Excerpt
More information

# ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ.

I. Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν
2 ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν ἄχρι ἧς ἡμέρας ἐντειλάμενος
3 τοῖς ἀποστόλοις διὰ πνεύματος ἁγίου οὓς ἐξελέξατο ἀνελήφθη. οἷς καὶ
παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτὸν ἐν πολλοῖς τεκμηρίοις,
δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς
4 βασιλείας τοῦ θεοῦ. καὶ **συναυλιζόμενος** παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσο-
λύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρὸς,
5 ἣν ἠκούσατέ μου· ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθή-
6 σεσθε ἐν πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας. οἱ μὲν οὖν
συνελθόντες ἐπηρώτων αὐτὸν λέγοντες, Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ
7 ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; εἶπε δὲ πρὸς αὐτοὺς, Οὐχ
ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιροὺς οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ·
8 ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς, καὶ
ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλὴμ καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ
9 Σαμαρείᾳ καὶ ἕως ἐσχάτου τῆς γῆς. καὶ ταῦτα εἰπὼν βλεπόντων αὐτῶν
10 ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. καὶ ὡς
ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν πορευομένου αὐτοῦ, καὶ ἰδοὺ **δύο ἄνδρες**
11 παρειστήκεισαν αὐτοῖς ἐν ἐσθῆτι λευκῇ, οἳ καὶ εἶπον, Ἄνδρες Γαλιλαῖοι,
τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς
ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, **οὗτος** ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν
12 πορευόμενον εἰς τὸν οὐρανόν. τότε ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ἀπὸ ὄρους
τοῦ καλουμένου Ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἱερουσαλὴμ, σαββάτου ἔχον
ὁδόν.

13 Καὶ ὅτε εἰσῆλθον, ἀνέβησαν εἰς τὸ ὑπερῷον οὗ ἦσαν καταμένοντες, ὅ
τε Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης καὶ Ἀνδρέας, Φίλιππος καὶ Θωμᾶς,

2 *εντηλαμενος* cod    10 *παρειστηκησαν* cod

4 *συναλιζομενος* 180 ϛ    10 *ανδρες δυο* 180 216 ϛ    11 *ουτως* 180 216 ϛ    12 *τοτε*] *εν ταις ημεραις εκειναις* 216    *υπεστρεψαν*]+*οι αποστολοι* 216

180 216 ϛ



© in this web service Cambridge University Press www.cambridge.org

Cambridge University Press
978-1-107-67466-0 - The Text of Acts in Codex 614 (Tisch. 137) and its Allies
Edited A. V. Valentine-Richards
Excerpt
More information



Βαρθολομαῖος καὶ Ματθαῖος, Ἰάκωβος Ἀλφαίου καὶ Σίμων ὁ Ζηλωτής,
καὶ Ἰούδας Ἰακώβου. οὗτοι πάντες ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν 14
τῇ προσευχῇ καὶ τῇ δεήσει σὺν γυναιξὶ καὶ Μαρίᾳ τῇ μητρὶ τοῦ **κυρίου**
καὶ σὺν τοῖς ἀδελφοῖς αὐτοῦ.
Καὶ ἐν ταῖς ἡμέραις ταύταις ἀναστὰς Πέτρος ἐν μέσῳ τῶν μαθητῶν 15
εἶπεν· ἦν τε ὄχλος ὀνομάτων ἐπὶ τὸ αὐτὸ ὡς ἑκατὸν εἴκοσι· Ἄνδρες 16
ἀδελφοί, ἔδει πληρωθῆναι τὴν γραφὴν ταύτην ἣν προεῖπε τὸ πνεῦμα τὸ
ἅγιον διὰ στόματος Δαβὶδ περὶ Ἰούδα τοῦ γενομένου ὁδηγοῦ τοῖς συλλα-
βοῦσι τὸν Ἰησοῦν· ὅτι κατηριθμημένος ἦν σὺν ἡμῖν, καὶ ἔλαχε τὸν κλῆρον 17
τῆς διακονίας ταύτης. οὗτος μὲν οὖν ἐκτήσατο χωρίον ἐκ **μισθοῦ** τῆς 18
ἀδικίας, καὶ πρηνὴς γενόμενος ἐλάκησε μέσος, καὶ ἐξεχύθη πάντα τὰ
σπλάγχνα αὐτοῦ. καὶ γνωστὸν ἐγένετο πᾶσι τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ, 19
ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν Ἀκελδαμὰ,
τουτέστι χωρίον αἵματος. γέγραπται γὰρ ἐν βίβλῳ Ψαλμῶν, Γενηθήτω 20
ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ. καὶ τὴν
ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος. δεῖ οὖν τῶν συνελθόντων ἡμῖν ἀνδρῶν ἐν 21
παντὶ χρόνῳ ἐν ᾧ εἰσῆλθε καὶ ἐξῆλθεν ἐφ' ἡμᾶς ὁ κύριος Ἰησοῦς, ἀρξά- 22
μενος ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου ἕως τῆς ἡμέρας ἧς ἀνελήφθη ἀφ'
ἡμῶν, μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ γενέσθαι σὺν ἡμῖν ἕνα τούτων.
καὶ ἔστησαν δύο, Ἰωσὴφ τὸν καλούμενον Βαρσαβᾶν, ὃς ἐπεκλήθη Ἰοῦστος, 23
καὶ Ματθίαν. καὶ προσευξάμενοι εἶπον, Σὺ Κύριε καρδιογνῶστα πάντων, 24
ἀνάδειξον **ὃν ἐξελέξω** ἐκ τούτων τῶν δύο ἕνα λαβεῖν τὸν κλῆρον τῆς διακονίας 25
ταύτης καὶ ἀποστολῆς, ἐξ ἧς παρέβη Ἰούδας πορευθῆναι εἰς τὸν τόπον
τὸν ἴδιον. καὶ ἔδωκαν κλήρους αὐτῶν, καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ματθίαν, 26
καὶ συγκατεψηφίσθη μετὰ τῶν ἕνδεκα ἀποστόλων.
II. Καὶ ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς ἦσαν
ἅπαντες **οἱ ἀπόστολοι** ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτό. καὶ ἐγένετο ἄφνω ἐκ τοῦ 2
οὐρανοῦ ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσεν ὅλον τὸν
οἶκον οὗ ἦσαν καθήμενοι· καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι 3
ὡσεὶ πυρὸς, ἐκάθισέ τε ἐφ' ἕνα ἕκαστον αὐτῶν, καὶ ἐπλήσθησαν ἅπαντες 4
πνεύματος ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις καθὼς τὸ πνεῦμα
ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι. ἦσαν δὲ ἐν Ἱερουσαλὴμ κατοικοῦντες 5
Ἰουδαῖοι ἄνδρες εὐλαβεῖς ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν.
γενομένης δὲ τῆς φωνῆς ταύτης συνῆλθε τὸ πλῆθος καὶ συνεχύθη· ὅτι 6

**16** Δαβιδ] $\overline{Δαδ}$ cod (et 180) passim **20** *λαβη* cod **22** *μαρτυρας της* cod sed *ας της* scripsit m. recent. in rasura

180 216 ϛ **14** *κυριου*] Ιησου 180 216 ϛ **15** *εικοσιν* 216 ϛ **18** *μισθου*] pr *του* ϛ **23** *επικαλουμενον* 216 **24** *ον εξελεξω* post *ενα* ϛ
**1** om *και* 216 *παντες* 216 om *οι αποστολοι* 180 ϛ **5** *των ουρανων* 216

© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-107-67466-0 - The Text of Acts in Codex 614 (Tisch. 137) and its Allies
Edited A. V. Valentine-Richards
Excerpt
More information



7 ἤκουον εἷς ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν. ἐξίσταντο δὲ
καὶ ἐθαύμαζον, λέγοντες πρὸς ἀλλήλους, Οὐκ ἰδοὺ πάντες οὗτοί εἰσιν
8 οἱ λαλοῦντες Γαλιλαῖοι; καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ
9 ἡμῶν ἐν ᾗ ἐγεννήθημεν, Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, καὶ οἱ κατοι-
κοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ
10 τὴν Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης
τῆς κατὰ Κυρήνην, καὶ οἱ ἐπιδημοῦντες Ῥωμαῖοι, Ἰουδαῖοί τε καὶ προσή-
11 λυτοι, Κρῆτες καὶ Ἄραβες, ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις
12 γλώσσαις τὰ μεγαλεῖα τοῦ θεοῦ; ἐξίσταντο δὲ πάντες καὶ διηπόρουν,
13 ἄλλος πρὸς ἄλλον λέγοντες, Τί ἂν θέλοι τοῦτο εἶναι; ἕτεροι δὲ χλευάζοντες
ἔλεγον ὅτι Γλεύκους μεμεστωμένοι εἰσίν.
14 Σταθεὶς δὲ ὁ Πέτρος σὺν τοῖς ἕνδεκα ἐπῆρε τὴν φωνὴν αὐτοῦ καὶ
ἀπεφθέγξατο αὐτοῖς, Ἄνδρες Ἰουδαῖοι καὶ οἱ κατοικοῦντες Ἱερουσαλὴμ
15 ἅπαντες, τοῦτο ὑμῖν γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου. οὐ
γὰρ ὡς ὑμεῖς ὑπολαμβάνετε οὗτοι μεθύουσιν· ἔστι γὰρ ὥρα τρίτη τῆς
16 17 ἡμέρας· ἀλλὰ τοῦτό ἐστι τὸ εἰρημένον διὰ τοῦ προφήτου Ἰωήλ, Καὶ
ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει ὁ θεός, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός
μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγάτερες
ὑμῶν· καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ πρεσβύτεροι ὑμῶν
18 ἐνύπνια ἐνυπνιασθήσονται. καί γε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς
δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, καὶ
19 προφητεύσουσι. καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω καὶ σημεῖα ἐπὶ τῆς
20 γῆς κάτω, αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ. ὁ ἥλιος μεταστραφήσεται εἰς
σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν
21 μεγάλην καὶ ἐπιφανῆ. καὶ ἔσται πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα
22 Κυρίου σωθήσεται. Ἄνδρες Ἰσραηλῖται, ἀκούσατε τοὺς λόγους τούτους·
Ἰησοῦν τὸν Ναζωραῖον, ἄνδρα ἀπὸ τοῦ θεοῦ ἀποδεδειγμένον εἰς ὑμᾶς
δυνάμεσι καὶ τέρασι καὶ σημείοις, οἷς ἐποίησε δι᾽ αὐτοῦ ὁ θεὸς ἐν μέσῳ
23 ὑμῶν, καθὼς καὶ αὐτοὶ οἴδατε, τοῦτον τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει
τοῦ θεοῦ ἔκδοτον λαβόντες διὰ χειρῶν ἀνόμων προσπήξαντες ἀνείλετε·
24 ὃν ὁ θεὸς ἀνέστησε, λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καθότι οὐκ ἦν δυνατὸν
25 κρατεῖσθαι αὐτὸν ὑπ᾽ αὐτοῦ. Δαβὶδ γὰρ λέγει εἰς αὐτόν, Προωρώμην
τὸν κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μου ἐστὶν ἵνα μὴ
26 σαλευθῶ· διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ
27 γλῶσσά μου· ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ᾽ ἐλπίδι. ὅτι οὐκ
ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν

**17** *θυγατεραις* cod (et 180) **23** *προσπτηξαντες* cod

**6** *εκαστος*]+*αυτων* 216 **7** *δε*]+*παντες* 216 ς **13** *διαχλευαζοντες* 216 180 216 ς
**14** om *σταθεις...ενδεκα* 216 om *ο* ς **22** *απο του θεου* bis scripsit 216
*ημας* 216 **24** *οδυνας* 216 **27** *αδην* 216



© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-107-67466-0 - The Text of Acts in Codex 614 (Tisch. 137) and its Allies
Edited A. V. Valentine-Richards
Excerpt
More information



διαφθοράν. ἐγνώρισάς μοι ὁδοὺς ζωῆς· πληρώσεις με **εὐφροσύνην** μετὰ 28
τοῦ προσώπου σου. Ἄνδρες ἀδελφοὶ, ἐξὸν εἰπεῖν μετὰ παρρησίας πρὸς 29
ὑμᾶς περὶ τοῦ πατριάρχου Δαβὶδ, ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη, καὶ
τὸ μνῆμα αὐτοῦ ἐστιν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης. προφήτης οὖν 30
ὑπάρχων, καὶ εἰδὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ θεὸς ἐκ καρποῦ τῆς ὀσφύος
αὐτοῦ τὸ κατὰ σάρκα ἀναστήσειν τὸν Χριστὸν, καθίσαι ἐπὶ τοῦ θρόνου
αὐτοῦ, προϊδὼν ἐλάλησε περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, ὅτι οὐκ 31
**ἐγκατελήφθη** ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδου οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν.
τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ θεὸς, οὗ πάντες ἡμεῖς ἐσμεν μάρτυρες. 32
τῇ δεξιᾷ οὖν τοῦ θεοῦ ὑψωθεὶς τήν τε ἐπαγγελίαν τοῦ ἁγίου πνεύματος 33
λαβὼν παρὰ τοῦ πατρὸς ἐξέχεε τοῦτο ὃ νῦν ὑμεῖς βλέπετε καὶ ἀκούετε. οὐ 34
γὰρ Δαβὶδ ἀνέβη εἰς τοὺς οὐρανοὺς, λέγει δὲ αὐτὸς, Εἶπεν ὁ Κύριος τῷ
κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον 35
τῶν ποδῶν σου. ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ ὅτι καὶ 36
κύριον καὶ Χριστὸν αὐτὸν ὁ θεὸς ἐποίησε, τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς
ἐσταυρώσατε.

Ἀκούσαντες δὲ κατενύγησαν τῇ καρδίᾳ, **εἰπόντες** πρὸς τὸν Πέτρον 37
καὶ τοὺς λοιποὺς ἀποστόλους, Τί **ποιήσωμεν** ἄνδρες ἀδελφοί; Πέτρος δὲ 38
ἔφη πρὸς αὐτοὺς, Μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ
ὀνόματι **τοῦ κυρίου** Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν· καὶ λήψεσθε τὴν
δωρεὰν τοῦ ἁγίου πνεύματος. ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία καὶ τοῖς 39
τέκνοις ὑμῶν καὶ πᾶσι τοῖς εἰς μακρὰν, ὅσους ἂν προσκαλέσηται Κύριος
ὁ θεὸς ἡμῶν. ἑτέροις τε λόγοις πλείοσι διεμαρτύρετο καὶ παρεκάλει 40
λέγων, Σώθητε ἀπὸ τῆς γενεᾶς **ταύτης τῆς σκολιᾶς**. οἱ μὲν οὖν ἀσμένως 41
ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ ἐβαπτίσθησαν· καὶ προσετέθησαν τῇ ἡμέρᾳ
ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι.

Ἦσαν δὲ προσκαρτεροῦντες **ὁμοθυμαδὸν** τῇ διδαχῇ τῶν ἀποστόλων καὶ 42
τῇ κοινωνίᾳ καὶ τῇ κλάσει τοῦ ἄρτου καὶ ταῖς προσευχαῖς. ἐγένετο δὲ πάσῃ 43
ψυχῇ φόβος, πολλά τε τέρατα καὶ σημεῖα διὰ **τῶν χειρῶν** τῶν ἀποστόλων
ἐγίνετο. πάντες δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶ τὸ αὐτὸ καὶ εἶχον ἅπαντα κοινὰ, 44

**28** πληρωσης cod

180 216 ς **28** ευφροσυνης 180 216 ς **29** ημας 216 **30** αναστησει 216 **31** ου κατεληφθη 216 ς (sed -ειφθη ς) **32** μαρτυρες εσμεν 216 **33** τη ουν δεξια 216 του πνευματος του αγιου 216 τουτο] τουτων 216 βλεπετε]+τε 216 **36** πας]+ο 216 ο θεος αυτον 216 **37** ειποντες] ειπον τε 180 216 ς ποιησομεν 216 ς **38** om του κυριου 180 216 ς **39** οσοις 180 προκαλεσηται 216 **40** om τε 216 της σκολιας ταυτης 180 216 ς **42** om ομοθυμαδον 180 216 ς **43** φοβος]+μεγας 216 om των χειρων 216 ς εγενετο 216 **44** πιστευσαντες 180

© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-107-67466-0 - The Text of Acts in Codex 614 (Tisch. 137) and its Allies
Edited A. V. Valentine-Richards
Excerpt
More information



45 καὶ τὰ κτήματα καὶ τὰς ὑπάρξεις ἐπίπρασκον καὶ διεμέριζον αὐτὰ πᾶσι,
46 **καθὸ** ἄν τις χρείαν εἶχε· καθ᾽ ἡμέραν τε προσκαρτεροῦντες ὁμοθυμαδὸν ἐν
τῷ ἱερῷ, κλῶντές τε κατ᾽ οἶκον ἄρτον, μετελάμβανον τροφῆς ἐν ἀγαλλιάσει
47 καὶ ἀφελότητι καρδίας, αἰνοῦντες τὸν θεὸν καὶ ἔχοντες χάριν πρὸς ὅλον
τὸν λαόν. ὁ δὲ κύριος προσετίθει τοὺς σωζομένους καθ᾽ ἡμέραν τῇ
ἐκκλησίᾳ.
III. Ἐπὶ τὸ αὐτὸ δὲ Πέτρος καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν ἐπὶ
2 τὴν ὥραν τῆς προσευχῆς τὴν ἐννάτην. καί τις ἀνὴρ χωλὸς ἐκ κοιλίας
μητρὸς αὐτοῦ ὑπάρχων ἐβαστάζετο· ὃν ἐτίθουν καθ᾽ ἡμέραν πρὸς τὴν
θύραν τοῦ ἱεροῦ τὴν λεγομένην Ὡραίαν, τοῦ αἰτεῖν ἐλεημοσύνην παρὰ τῶν
3 εἰσπορευομένων εἰς τὸ ἱερόν. ὃς ἰδὼν Πέτρον καὶ Ἰωάννην μέλλοντας
4 εἰσιέναι εἰς τὸ ἱερὸν ἠρώτα ἐλεημοσύνην λαβεῖν. ἀτενίσας δὲ Πέτρος εἰς
5 αὐτὸν σὺν τῷ Ἰωάννῃ εἶπε, Βλέψον εἰς ἡμᾶς. ὁ δὲ ἐπεῖχεν αὐτοῖς,
6 προσδοκῶν τι παρ᾽ **αὐτοῖς** λαβεῖν. εἶπε δὲ Πέτρος, Ἀργύριον καὶ χρυσίον
οὐχ ὑπάρχει μοι· ὃ δὲ ἔχω τοῦτό σοι δίδωμι. ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ
7 τοῦ Ναζωραίου ἔγειραι καὶ περιπάτει. καὶ πιάσας αὐτὸν τῆς δεξιᾶς
χειρὸς ἤγειρε· παραχρῆμα δὲ ἐστερεώθησαν αὐτοῦ αἱ βάσεις καὶ τὰ σφυρά,
8 καὶ ἐξαλλόμενος ἔστη καὶ περιεπάτει, καὶ εἰσῆλθε σὺν αὐτοῖς εἰς τὸ ἱερὸν
9 περιπατῶν καὶ ἀλλόμενος καὶ αἰνῶν τὸν θεόν. καὶ εἶδεν αὐτὸν πᾶς ὁ λαὸς
10 περιπατοῦντα καὶ αἰνοῦντα τὸν θεόν· ἐπεγίνωσκόν τε αὐτὸν ὅτι οὗτος ἦν ὁ
πρὸς τὴν ἐλεημοσύνην καθήμενος ἐπὶ τῇ Ὡραίᾳ πύλῃ τοῦ ἱεροῦ· καὶ
ἐπλήσθησαν θάμβους καὶ ἐκστάσεως ἐπὶ τῷ συμβεβηκότι αὐτῷ.
11 Κρατοῦντος δὲ τοῦ ἰαθέντος χωλοῦ τὸν Πέτρον καὶ Ἰωάννην συνέδραμε
πρὸς αὐτοὺς πᾶς ὁ λαὸς ἐπὶ τῇ στοᾷ τῇ καλουμένῃ Σολομῶντος ἔκθαμβοι.
12 ἰδὼν δὲ Πέτρος ἀπεκρίνατο πρὸς τὸν λαόν, Ἄνδρες Ἰσραηλῖται, τί θαυμάζετε
ἐπὶ τούτῳ, ἢ ἡμῖν τί ἀτενίζετε ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ
13 περιπατεῖν αὐτόν; ὁ θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, ὁ θεὸς τῶν
πατέρων ἡμῶν, ἐδόξασε τὸν παῖδα αὐτοῦ Ἰησοῦν· ὃν ὑμεῖς **μὲν** παρεδώκατε,
καὶ ἠρνήσασθε αὐτὸν κατὰ πρόσωπον Πιλάτου, κρίναντος ἐκείνου ἀπολύειν.
14 ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε, καὶ ᾐτήσασθε ἄνδρα φονέα
15 χαρισθῆναι ὑμῖν, τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε· ὃν ὁ θεὸς ἤγειρεν
16 ἐκ νεκρῶν, οὗ ἡμεῖς μάρτυρές ἐσμεν. καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος
αὐτοῦ τοῦτον ὃν θεωρεῖτε καὶ οἴδατε ἐστερέωσε τὸ ὄνομα αὐτοῦ καὶ ἡ πίστις

**11** *Ιωαννην*] Ιω̄ cod **12** *ατενιζεται* cod sed ipsa p. m. scripsit *ε* super *αι*

**45** *καθο*] *καθοτι* 216 ς **47** om *ολον* 180 *καθ ημερας* 216 om 180 216 ς
*ο δε κυριος...εκκλησια* 180
**1** *Ιωαννης*] Ιω̄ 180 *εvατην* 180 **3** om *λαβειν* 216 **5** *αυτοις*
2°] *αυτων* 180 216 ς **6** *εγειραι*] *εγυρε* 216 (?) **9** *ειδε πας ο λαος αυτον* 216
**11** *του ιαθεντος χωλου*] *αυτου* 216 om *τον* 216 *Ιωαννην*] Ιω̄ 180
*Σολομωνος* 216 **13** om *μεν* ς

© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-107-67466-0 - The Text of Acts in Codex 614 (Tisch. 137) and its Allies
Edited A. V. Valentine-Richards
Excerpt
More information



ἢ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην ἀπέναντι πάντων ὑμῶν.
καὶ νῦν, ἀδελφοί, οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε, ὥσπερ καὶ οἱ ἄρχοντες 17
ὑμῶν· ὁ δὲ θεὸς ἃ προκατήγγειλε διὰ στόματος πάντων τῶν προφητῶν 18
αὐτοῦ παθεῖν τὸν Χριστὸν ἐπλήρωσεν οὕτως. μετανοήσατε οὖν καὶ ἐπιστρέ- 19
ψατε εἰς τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας, ὅπως ἂν ἔλθωσι καιροὶ
ἀναψύξεως ἀπὸ προσώπου Κυρίου, καὶ ἀποστείλῃ τὸν **προκεχειρισμένον** ὑμῖν 20
Ἰησοῦν Χριστόν, ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι ἄχρι χρόνων ἀποκαταστάσεως 21
πάντων, ὧν ἐλάλησεν ὁ θεὸς διὰ στόματος πάντων **τῶν προφητῶν ἁγίων**
**αὐτοῦ** ἀπ' αἰῶνος. Μωσῆς μὲν γὰρ πρὸς τοὺς πατέρας εἶπεν ὅτι Προφήτην 22
ὑμῖν ἀναστήσει Κύριος ὁ θεὸς **ἡμῶν** ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ· αὐτοῦ
ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς. ἔσται δέ, πᾶσα ψυχὴ 23
ἥτις **ἐὰν** μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ
**αὐτῆς.** καὶ πάντες δὲ οἱ προφῆται ἀπὸ Σαμουὴλ καὶ τῶν καθεξῆς ὅσοι 24
ἐλάλησαν καὶ **κατήγγειλαν** τὰς ἡμέρας ταύτας. ὑμεῖς ἐστε υἱοὶ τῶν 25
προφητῶν καὶ τῆς διαθήκης ἧς διέθετο ὁ θεὸς **τοὺς** πατέρας ἡμῶν, λέγων
πρὸς Ἀβραάμ, Καὶ **ἐν** τῷ σπέρματί σου ἐνευλογηθήσονται πᾶσαι αἱ
πατριαὶ τῆς γῆς. ὑμῖν πρῶτον ὁ θεὸς ἀναστήσας τὸν παῖδα αὐτοῦ Ἰησοῦν 26
ἀπέστειλεν αὐτὸν εὐλογοῦντα ὑμᾶς, ἐν τῷ ἀποστρέφειν ἕκαστον ἀπὸ τῶν
πονηριῶν ὑμῶν.

IV. Λαλούντων δὲ αὐτῶν πρὸς τὸν λαὸν ἐπέστησαν αὐτοῖς οἱ ἱερεῖς
καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ Σαδδουκαῖοι, διαπονούμενοι διὰ τὸ 2
διδάσκειν αὐτοὺς τὸν λαὸν καὶ καταγγέλλειν ἐν τῷ Ἰησοῦ τὴν ἀνάστασιν
**τῶν** νεκρῶν· καὶ ἐπέβαλον αὐτοῖς τὰς χεῖρας καὶ ἔθεντο **αὐτοὺς** εἰς τήρησιν 3
εἰς τὴν αὔριον, ἦν γὰρ ἑσπέρα ἤδη. πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον 4
ἐπίστευσαν· καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν ἀνδρῶν ὡσεὶ χιλιάδες πέντε.
ἐγένετο δὲ ἐπὶ τὴν αὔριον συναχθῆναι αὐτῶν τοὺς ἄρχοντας καὶ πρεσβυ- 5
τέρους καὶ γραμματεῖς εἰς Ἱερουσαλήμ, καὶ Ἄνναν τὸν ἀρχιερέα καὶ 6
Καϊάφαν καὶ Ἰωάννην καὶ Ἀλέξανδρον καὶ ὅσοι ἦσαν ἐκ γένους ἀρχιε-
ρατικοῦ. καὶ στήσαντες αὐτοὺς ἐν **μέσῳ** ἐπυνθάνοντο, Ἐν ποίᾳ δυνάμει ἢ 7
ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦτο ὑμεῖς; τότε Πέτρος πλησθεὶς πνεύματος 8
ἁγίου εἶπε πρὸς αὐτούς, Ἄρχοντες τοῦ λαοῦ καὶ πρεσβύτεροι τοῦ Ἰσραήλ, εἰ 9

**18** *ουτος* cod **24** *κατηγγειλαν*] *ιλαν* rescripsit m. recentior *ιλε*

180 216 ϛ

**18** om *παθειν* 180 *Χριστον*]+*αυτου* 216 **19** *Κυριου*] pr *του* 216 ϛ **20** *προκεχειρισμενον*] *προκεκηρυγμενον* ϛ *Χριστον Ιησουν* 216 **21** *παντων αγιων αυτου προφητων* 216 ϛ *απ αιωνος*] pr *των* 216 **22** *ημων*] *υμων* ϛ *λαλησει* 216 **23** *εαν*] *αν* ϛ om *αυτης* 180 216 ϛ **24** *προκατηγγειλαν* ϛ **25** *υιοι*] pr *οι* 180 216 *τους π.*] pr *προς* 180 216 ϛ om *εν* ϛ

**1** *λαον*]+*τα ρηματα ταυτα* 216 **2** *των*] *την εκ* ϛ **3** om *αυτους* 180 216 ϛ **5** *τους πρεσβ. και τους γραμμ.* 216 **7** *μεσω*] pr *τω* 216* ϛ sed 216[corr] erasit

© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-107-67466-0 - The Text of Acts in Codex 614 (Tisch. 137) and its Allies
Edited A. V. Valentine-Richards
Excerpt
More information



ἡμεῖς σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ **ἀσθενοῦς**, ἐν τίνι οὗτος σέσωσται,
10 γνωστὸν ἔστω πᾶσιν ὑμῖν καὶ παντὶ τῷ λαῷ Ἰσραὴλ ὅτι ἐν τῷ ὀνόματι
Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, ὃν ὑμεῖς ἐσταυρώσατε, ὃν ὁ θεὸς ἤγειρεν ἐκ
11 νεκρῶν, ἐν τούτῳ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής. οὗτός ἐστιν ὁ
λίθος ὁ ἐξουθενηθεὶς ὑφ' ἡμῶν τῶν οἰκοδομούντων, ὁ γενόμενος εἰς κεφαλὴν
12 γωνίας. καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία· οὔτε γὰρ ὄνομά ἐστιν
**ἕτερον** τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς.
13 Θεωροῦντες δὲ τὴν τοῦ Πέτρου παρρησίαν καὶ Ἰωάννου, καὶ κατα-
λαβόμενοι ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον, ἐπεγί-
14 νωσκόν τε αὐτοὺς ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν· τὸν δὲ ἄνθρωπον βλέποντες
15 σὺν αὐτοῖς ἑστῶτα τὸν τεθεραπευμένον οὐδὲν εἶχον ἀντειπεῖν. κελεύσαντες
16 δὲ αὐτοὺς ἔξω τοῦ συνεδρίου ἀπελθεῖν **συνέβαλλον** πρὸς ἀλλήλους λέγοντες, Τί
ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; ὅτι **μὲν** γνωστὸν σημεῖον γέγονε δι' αὐτῶν
πᾶσι τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ φανερὸν, καὶ οὐ δυνάμεθα ἀρνήσασθαι·
17 ἀλλ' ἵνα μὴ ἐπὶ πλεῖον διανεμηθῇ εἰς τὸν λαὸν, ἀπειλῇ **ἀπειλησόμεθα** αὐτοῖς
18 μηκέτι λαλεῖν **μηδενὶ ἀνθρώπων ἐπὶ τῷ ὀνόματι τούτῳ**. καὶ καλέσαντες
αὐτοὺς παρήγγειλαν αὐτοῖς τὸ καθόλου μὴ φθέγγεσθαι μηδὲ διδάσκειν ἐπὶ
19 τῷ ὀνόματι **Ἰησοῦ**. ὁ δὲ Πέτρος καὶ Ἰωάννης ἀποκριθέντες πρὸς αὐτοὺς
εἶπον, Εἰ δίκαιόν ἐστιν ἐνώπιον τοῦ θεοῦ ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ θεοῦ,
20 κρίνατε· οὐ δυνάμεθα γὰρ ἡμεῖς ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν.
21 οἱ δὲ προσαπειλησάμενοι ἀπέλυσαν αὐτοὺς, μηδὲν εὑρίσκοντες τὸ πῶς
**κολάσονται** αὐτοὺς, διὰ τὸν λαὸν, ὅτι πάντες ἐδόξαζον τὸν θεὸν ἐπὶ τῷ
22 γεγονότι. ἐτῶν γὰρ ἦν πλειόνων τεσσαράκοντα ὁ ἄνθρωπος ἐφ' ὃν
ἐγεγόνει τὸ σημεῖον τοῦτο τῆς ἰάσεως.
23 Ἀπολυθέντες δὲ ἦλθον πρὸς τοὺς ἰδίους, καὶ ἀπήγγειλαν ὅσα πρὸς
24 αὐτοὺς οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι εἶπον. οἱ δὲ ἀκούσαντες ὁμοθυ-
μαδὸν ἦραν φωνὴν πρὸς τὸν θεὸν καὶ εἶπον, Δέσποτα, σὺ ὁ θεὸς ὁ
ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν

**9** *ασθενους*] pr *ανου̅* m. recent. **13** *εισι*] *ησι* cod **14** *αντιπειν* cod **16** *μεν*] add. *γαρ* m. rec.

**9** *ασθενους*] pr *ανθρωπου* 180 216 ς **11** *εξουδενωθεις* 216 *υμων* 180 216 ς 180 216 ς *οικοδομων* 216 **12** *ετερον εστι* 216 *ετερον*]+*υπο τον ουρανον* 216* ς sed 216corr erasit *εν* 2o] *τοις* 216 **13** *επεγίνωσκόντες* 180 **14** *δε*] *τε* 216 **15** om *δε* 216 *ἔξω του συνεδριου αυτους* 216 *συνεβαλον* 180 216 ς **16** *ποιησωμεν* 180 *μεν*]+*γαρ* 180 216 ς *αρνεισθαι* 216 **17** *απειλησωμεθα* 216 ς *επι τω ονοματι τουτω μηδενι ανθρωπων* 180 216 ς **18** *Ιησου*] pr *του* 216 ς **19** *Ιωαννης*] *Ιω̄* 180 *ειπον προσ αυτους* 216 **21** *κολασωνται* ς **22** *ο ανθρωπος τεσσαρακοντα* 216 **24** *φωνην*] pr *την* 216

© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-107-67466-0 - The Text of Acts in Codex 614 (Tisch. 137) and its Allies
Edited A. V. Valentine-Richards
Excerpt
More information



αὐτοῖς, ὁ διὰ στόματος Δαβὶδ **παιδός** σου εἰπών, Ἱνατί ἐφρύαξαν ἔθνη, 25
καὶ λαοὶ ἐμελέτησαν κενά; παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ 26
ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ Χριστοῦ
αὐτοῦ. συνήχθησαν γὰρ ἐπ' ἀληθείας ἐπὶ τὸν ἅγιόν **σου παῖδα** Ἰησοῦν, ὃν 27
ἔχρισας, Ἡρώδης τε καὶ Πόντιος Πιλάτος σὺν ἔθνεσι καὶ λαοῖς Ἰσραήλ,
ποιῆσαι ὅσα ἡ χείρ σου καὶ ἡ βουλή σου προώρισε γενέσθαι. καὶ τὰ νῦν, 28 29
κύριε, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν, καὶ δὸς τοῖς δούλοις σου μετὰ **παρρησίας**
λαλεῖν τὸν λόγον σου ἐν τῷ τὴν χεῖρά σου ἐκτείνειν σε εἰς ἴασιν καὶ σημεῖα 30
καὶ τέρατα γίνεσθαι διὰ τοῦ ὀνόματος τοῦ ἁγίου παιδός σου Ἰησοῦ. καὶ 31
δεηθέντων αὐτῶν ἐσαλεύθη ὁ τόπος ἐν ᾧ ἦσαν συνηγμένοι, καὶ ἐπλήσθησαν
ἅπαντες πνεύματος ἁγίου, καὶ ἐλάλουν τὸν λόγον τοῦ θεοῦ μετὰ παρρησίας.

Τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία· καὶ 32
οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα
κοινά. καὶ μεγάλῃ δυνάμει ἀπεδίδουν τὸ μαρτύριον οἱ ἀπόστολοι τῆς 33
ἀναστάσεως τοῦ κυρίου Ἰησοῦ, χάρις τε μεγάλη ἦν ἐπὶ πάντας αὐτούς.
οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς· ὅσοι γὰρ κτήτορες χωρίων ἢ 34
οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων, καὶ 35
ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων· διεδίδοτο δὲ ἑκάστῳ **καθό** τις
χρείαν εἶχεν.

Ἰωσῆς δὲ ὁ ἐπικληθεὶς Βαρνάβας **ἀπὸ** τῶν ἀποστόλων, ὅ ἐστι μεθερμη- 36
νευόμενον υἱὸς παρακλήσεως, Λευΐτης, Κύπριος τῷ γένει, ὑπάρχοντος αὐτῷ 37
ἀγροῦ πωλήσας ἤνεγκε τὸ χρῆμα καὶ ἔθηκε παρὰ τοὺς πόδας τῶν ἀποστόλων.
V. Ἀνὴρ δέ τις Ἀνανίας ὀνόματι σὺν Σαπφείρῃ τῇ γυναικὶ αὐτοῦ
ἐπώλησε **κτῆμα**, συνειδυίας καὶ τῆς γυναικὸς αὐτοῦ, καὶ ἐνέγκας μέρος τι 2
παρὰ τοὺς πόδας τῶν ἀποστόλων ἔθηκεν. εἶπε δὲ Πέτρος, Ἀνανία, διατί 3
ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου ψεύσασθαί σε τὸ πνεῦμα τὸ ἅγιον
καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου; οὐχὶ μένον σοὶ ἔμενε, καὶ 4
πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχε; τί ὅτι ἔθου ἐν τῇ καρδίᾳ σου τὸ πρᾶγμα
τοῦτο; οὐκ ἐψεύσω ἀνθρώποις ἀλλὰ τῷ θεῷ. ἀκούων δὲ Ἀνανίας τοὺς 5
λόγους τούτους πεσὼν ἐξέψυξε· καὶ ἐγένετο φόβος μέγας ἐπὶ πάντας

**28** *πρωορισε* cod **29** *μετα παρρη* (in fine lineae) in rasura sed p. m.
**30** Inter *αγιου* et *παιδος* exstat rasura, spat. trium litt. **34** *ενδεος* cod
**2** *συνεδυιας* cod

180 216 ς **25** *παιδος*] pr *του* 180 ς **27** *επ αληθειας*] om 180, + *εν τη πολει ταυτη* 216 *παιδα σου* 180 216 ς om *τε* 180 **29** *παρρησιας*] + *πασης* 180 216 ς **30** *ιασιν*] *ιασεις* 180 **33** *δυναμει μεγαλη* 216
**35** *καθο*] *καθοτι αν* 216 ς **36** *υπο* 216 ς **37** *αυτω*] *αυτου* 180
**1** *ονοματι Ανανιας* 216 *κτημα*] + *και ενοσφισατο απο της τιμης* 180 216 ς
**3** *Πετρος*] + *προς αυτον* 216 **4** *εν* 1°] *επι* 216 **5** *Ανανιας*] pr *ο* 180

© in this web service Cambridge University Press www.cambridge.org

6 τοὺς ἀκούοντας ταῦτα. ἀναστάντες δὲ οἱ νεώτεροι συνέστειλαν αὐτὸν καὶ
7 ἐξενέγκαντες ἔθαψαν. ἐγένετο δὲ ὡς ὡρῶν τριῶν διάστημα, καὶ ἡ γυνὴ
8 αὐτοῦ μὴ εἰδυῖα τὸ γεγονὸς εἰσῆλθεν. ἀπεκρίθη **δὲ** ὁ Πέτρος, Εἰπέ μοι,
9 εἰ τοσούτου **χωρίον** ἀπέδοσθε; ἡ δὲ εἶπε, Ναί, τοσούτου. ὁ δὲ Πέτρος
εἶπε πρὸς αὐτήν, Τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ πνεῦμα Κυρίου;
ἰδοὺ οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου ἐπὶ τῇ θύρᾳ, καὶ ἐξοίσουσί σε.
10 ἔπεσε δὲ παραχρῆμα παρὰ τοὺς πόδας αὐτοῦ καὶ ἐξέψυξεν· εἰσελθόντες δὲ
οἱ νεανίσκοι εὗρον αὐτὴν νεκράν, καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς τὸν ἄνδρα
11 αὐτῆς. καὶ ἐγένετο φόβος μέγας ἐφ᾽ ὅλην τὴν ἐκκλησίαν καὶ ἐπὶ πάντας
τοὺς ἀκούοντας ταῦτα.
12 Διὰ δὲ τῶν χειρῶν τῶν ἀποστόλων ἐγένετο σημεῖα καὶ τέρατα ἐν τῷ
λαῷ πολλά· καὶ ἦσαν ὁμοθυμαδὸν ἅπαντες ἐν τῇ στοᾷ Σολομῶντος·
13 τῶν δὲ λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς, ἀλλ᾽ ἐμεγάλυνεν αὐτοὺς ὁ
14 λαός· μᾶλλον δὲ προσετίθεντο πιστεύοντες τῷ κυρίῳ πλήθη ἀνδρῶν τε καὶ
15 γυναικῶν· ὥστε κατὰ τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς καὶ τιθέναι ἐπὶ
κλινῶν καὶ κραββάτων, ἵνα ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ **ἐπισκιάσει** τινὶ
16 αὐτῶν. **συνήρχοντο** δὲ καὶ τὸ πλῆθος τῶν πέριξ πόλεων εἰς Ἱερουσαλήμ,
φέροντες ἀσθενεῖς καὶ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων, οἵτινες
ἐθεραπεύοντο ἅπαντες.
17 Ἀναστὰς δὲ ὁ ἀρχιερεὺς καὶ πάντες οἱ σὺν αὐτῷ, ἡ οὖσα αἵρεσις τῶν
18 Σαδδουκαίων, ἐπλήσθησαν ζήλου, καὶ ἐπέβαλον τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς
19 ἀποστόλους, καὶ ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ. ἄγγελος δὲ Κυρίου
διὰ τῆς νυκτὸς ἤνοιξε τὰς θύρας τῆς φυλακῆς, **καὶ** ἐξαγαγών τε αὐτοὺς εἶπε,
20 Πορεύεσθε, καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα
21 τῆς ζωῆς ταύτης. ἀκούσαντες δὲ εἰσῆλθον ὑπὸ τὸν ὄρθρον εἰς τὸ ἱερὸν
καὶ ἐδίδασκον. παραγενόμενος δὲ ὁ ἀρχιερεὺς καὶ οἱ σὺν αὐτῷ συνεκάλεσαν
τὸ συνέδριον καὶ πᾶσαν τὴν γερουσίαν τῶν υἱῶν Ἰσραήλ, καὶ ἀπέστειλαν
22 εἰς τὸ δεσμωτήριον ἀχθῆναι αὐτούς. οἱ δὲ ὑπηρέται παραγενόμενοι οὐχ
23 εὗρον αὐτοὺς ἐν τῇ φυλακῇ· ἀναστρέψαντες δὲ ἀπήγγειλαν λέγοντες ὅτι
Τὸ μὲν δεσμωτήριον εὕρομεν κεκλεισμένον ἐν πάσῃ ἀσφαλείᾳ καὶ τοὺς
24 φύλακας **ἑστῶτας** πρὸ **θυρῶν**· ἀνοίξαντες δὲ ἔσω οὐδένα εὕρομεν. ὡς δὲ
ἤκουσαν τοὺς λόγους τούτους ὅ τε ἱερεὺς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ
25 ἀρχιερεῖς, διηπόρουν περὶ αὐτῶν, τί ἂν γένοιτο τοῦτο. παραγενόμενος δέ
τις ἀπήγγειλεν αὐτοῖς **ὅτι** Ἰδοὺ οἱ ἄνδρες οὓς ἔθεσθε ἐν τῇ φυλακῇ εἰσὶν ἐν

**7** *γεγονως* cod

**8** *απεκριθη δε*] *και απεκριθη* 180, + *αυτη* 180 216 ς *χωριον*] pr *το* 180 216 ς 180 216 ς **12** *εγινετο* 216 *Σολομωντος*] *του Σολομωνος* 216 **15** *κραβατων* 216 *επισκιαση* 180 216 ς **16** *συνηρχοντο*] *συνηρχετο* 180 216 ς om *και* 1° 216 **18** *επεβαλλον* 216 **19** om *και* 180 216 ς **23** *εστωτας*] pr *εξω* ς *προ*] *προς* 216 *θυρων*] pr *των* 180 216 ς **25** *οτι*] pr *λεγων* ς

CAMBRIDGE

Cambridge University Press
978-1-107-67466-0 - The Text of Acts in Codex 614 (Tisch. 137) and its Allies
Edited A. V. Valentine-Richards
Excerpt
More information



*τῷ ἱερῷ ἑστῶτες καὶ διδάσκοντες τὸν λαόν. τότε ἀπελθὼν ὁ στρατηγὸς* 26
*σὺν τοῖς ὑπηρέταις ἤγαγεν αὐτοὺς, οὐ μετὰ βίας, ἐφοβοῦντο γὰρ τὸν λαὸν,*
*ἵνα μὴ λιθασθῶσιν. ἀγαγόντες δὲ αὐτοὺς ἔστησαν ἐν τῷ συνεδρίῳ· καὶ* 27
*ἐπηρώτησεν αὐτοὺς ὁ ἀρχιερεὺς λέγων, Οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν* 28
*μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι τούτῳ; καὶ ἰδοὺ πεπληρώκατε τὴν Ἱερουσαλὴμ*
*τῆς διδαχῆς ὑμῶν, καὶ βούλεσθε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου*
*τούτου. ἀποκριθεὶς δὲ* **Πέτρος** *καὶ οἱ ἀπόστολοι εἶπον, Πειθαρχεῖν δεῖ* 29
*θεῷ μᾶλλον ἢ ἀνθρώποις. ὁ θεὸς τῶν πατέρων ἡμῶν ἤγειρεν Ἰησοῦν, ὃν* 30
*ὑμεῖς διεχειρίσασθε κρεμάσαντες ἐπὶ ξύλου· τοῦτον ὁ θεὸς ἀρχηγὸν καὶ* 31
*σωτῆρα ὕψωσε τῇ δεξιᾷ αὐτοῦ, δοῦναι μετάνοιαν τῷ Ἰσραὴλ καὶ ἄφεσιν*
*ἁμαρτιῶν. καὶ ἡμεῖς* **ἐσμεν** *μάρτυρες τῶν ῥημάτων τούτων, καὶ τὸ πνεῦμα* 32
*δὲ τὸ ἅγιον ὃ ἔδωκεν ὁ θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ.*
*Οἱ δὲ ἀκούσαντες* **τὰ ῥήματα ταῦτα** *διεπρίοντο καὶ* **ἐβούλοντο** *ἀνελεῖν* 33
*αὐτούς. ἀναστὰς δέ τις ἐν τῷ συνεδρίῳ Φαρισαῖος, ὀνόματι Γαμαλιὴλ,* 34
*νομοδιδάσκαλος τίμιος παντὶ τῷ λαῷ, ἐκέλευσεν ἔξω* **βραχὺ** *τοὺς ἀποστόλους*
*ποιῆσαι,* **εἶπε δὲ** *πρὸς αὐτοὺς, Ἄνδρες Ἰσραηλῖται, προσέχετε ἑαυτοῖς ἐπὶ* 35
*τοῖς ἀνθρώποις τούτοις τί μέλλετε πράσσειν. πρὸ γὰρ τούτων τῶν ἡμερῶν* 36
*ἀνέστη Θευδᾶς, λέγων εἶναί τινα ἑαυτὸν* **μέγαν**, *ᾧ προσεκολλήθη ἀριθμὸς*
*ἀνδρῶν* **ὡς** *τετρακοσίων· ὃς ἀνῃρέθη, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ*
**διεσκορπίσθησαν** *καὶ ἐγένοντο εἰς οὐδέν. μετὰ τοῦτον ἀνέστη Ἰούδας ὁ* 37
*Γαλιλαῖος ἐν ταῖς ἡμέραις τῆς ἀπογραφῆς, καὶ ἀπέστησεν* **ἱκανὸν λαὸν**
*ὀπίσω αὐτοῦ· κἀκεῖνος ἀπώλετο, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διεσκορπί-*
*σθησαν. καὶ τὰ νῦν λέγω ὑμῖν, ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων τούτων καὶ* 38
*ἐάσατε αὐτούς· ὅτι ἐὰν ᾖ ἐξ ἀνθρώπων ἡ βουλὴ αὕτη ἢ τὸ ἔργον τοῦτο,*
*καταλυθήσεται· εἰ δὲ ἐκ* **τοῦ** *θεοῦ ἐστιν* **αὐτὸ**, *οὐ* **δυνήσεσθε** *καταλῦσαι* 39
**αὐτούς· ἀπόσχεσθε οὖν ἀπὸ τῶν ἄνδρων τούτων** *μήποτε καὶ θεομάχοι εὑρεθῆτε.*
*ἐπείσθησαν δὲ αὐτῷ· καὶ προσκαλεσάμενοι τοὺς ἀποστόλους δείραντες* 40
*παρήγγειλαν μὴ λαλεῖν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ, καὶ ἀπέλυσαν αὐτούς.*
*οἱ μὲν οὖν* **ἀπόστολοι** *ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου,* 41
*ὅτι ὑπὲρ τοῦ ὀνόματος* **τοῦ κυρίου Ἰησοῦ** *κατηξιώθησαν ἀτιμασθῆναι·*

35 *πιπρασσειν* cod 37 *αυτω*] *αυτο* cod

180 216 ς

29 *Πετρος*] pr *ο* ς 32 *εσμεν*] + *αυτου* 180 ς, + *αυτο* 216 om *δε* 180 33 *ακουοντες* 216 om *τα ρηματα ταυτα* 216 ς *εβουλευοντο* 216 ς 34 *βραχυ*] + *τι* 216 ς 35 *δε*] *τε* 216 ς 36 om *μεγαν* 216 ς *ως*] *ωσει* 216 ς *διεσκορπισθησαν*] *διελυθησαν* 216 ς 37 *λαον ικανον* 216 ς 38 om *αυτη* 216 39 om *του* 180 216 ς om *αυτο* 216 ς *δυνασθε* 180 216 ς *αυτους*] *αυτο* 180 216 ς om *αποσχεσθε......τουτων* 216 ς 41 om *αποστολοι* 216 ς *του κυριου Ιησου*] *αυτου* 216 ς

© in this web service Cambridge University Press www.cambridge.org